www.tezaurliturgic.ro

# ΤΗι Θ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΝΙΟΥ

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

**Συμπληρωθεῖσα κατὰ τὰ ἐλλείποντα ἐκ τοῦ Μηναίου ὑπὸ τοῦ Ὁσίου Νικοδήμου τοῦ Ἁγιορείτου**

ΑΘΗΝΑΙ, 2010

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε, ἐκέκραξα, ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες. Νικοδήμου.

Αἰγύπτου φωστῆρα καὶ παντός, κόσμου τὸν Διδάσκαλον, τῆς Ἀλεξάνδρου τὸν πρόεδρον· Ἐφέσου καύχημα· Κύριλλον τὸν μέγαν, οἱ τούτου τοῖς δόγμασιν, ἑπόμενοι ἐν ὕμνοις τιμήσωμεν, καὶ τούτῳ κράξωμεν. Ἱεράρχα πανσεβάσμιε, πάσης βλάβης, ἡμᾶς ἀπολύτρωσαι.

Κριτὴς Οἰκουμένης ἀληθῶς, πάνσοφε γεγένησαι. Πατὴρ Πατέρων θεόπνευστε· ποιμὴν ποιμένων τε, Πάπας Πατριάρχης, θεοφόρε Κύριλλε. Πολλὰς γὰρ ἀρετή σοι πεποίηκε, τὰς κλήσεις Ἅγιε. Διὸ πᾶντές σε γεραίρομεν, καὶ τὴν μνήμην, τὴν σὴν ἑορτάζομεν.

Χάρις ἡ τοῦ Πνεύματος ἐν σοῖς, ἐξεχύθη χείλεσι, πλουσιωτάτη ἀοίδιμε. Ὅθεν γεγένησαι, μέγας θεολόγος, τῆς Τριάδος Κύριλλε. Καὶ λόγου τὴν φρικτὴν ἐνανθρώπησιν, σὺ ἐδογμάτισας, ἀκριβῶς τοῖς θείοις λόγοις σου. Κατὰ χρέος, διό σε δοξάζομεν.

Ὀνοματοθέτης προσφιλής, τῆς Παρθένου γέγονας, μακαριώτατε Κύριλλε. Σὺ γὰρ ἐκήρυξας, αὐτὴν Θεοτόκον, Πατέρων ἐνώπιον. Τὸν δὲ ἀνθρωπολάτρην Νεστόριον, ὡς βλασφημήσαντα, κατ᾽ αὐτῆς παραφρονέστατα, τοῖς πανσόφοις, λόγοις σου κατῄσχυνας.

Ἕτερα. Ἐκ τοῦ Μηναίου.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Φρυκτωρίαις τοῦ Πνεύματος, ἐλλαμφθεὶς τὴν διάνοιαν, φωτοβόλος ἥλιος ἐχρημάτισας, ὥς περ ἀκτῖνας τὰ δόγματα, εἰς πάντα τὰ πέρατα, ἐφαπλῶν καὶ τῶν πιστῶν, καταυγάζων πληρώματα παμμακάριστε, καὶ διώκων τὸ σκότος θεοφόρε, τῶν αἱρέσεων δυνάμει, τοῦ ἐκ Παρθένου ἐκλάμψαντος.

Εὐφραδείᾳ τῶν λόγων σου, ἱερώτατε Κύριλλε, Ἐκκλησία, ἅπασα ὡραΐζεται, καὶ εὐσεβῶς καλλωπίζεται, ὡραίοις ἐν κάλλεσι, καὶ τιμᾷ σου ἱερῶς, τὴν ἁγίαν μετάστασιν, παναοίδιμε, ἱερέων τὸ κλέος τῶν Πατέρων, κορυφαῖε, τῆς Συνόδου, τῆς Παναγίας ὑπέρμαχε.

Τοῖς πυρίνοις σου δόγμασι, τῶν αἱρέσεων ἅπασα, φρυγανώδης φλέγεται ὕλη πάνσοφε· τῶν νοημάτων τοῖς βάθεσι, βυθίζεται στράτευμα, ἀπειθούντων δυσσεβῶν, ἱερώτατε Κύριλλε· τοῖς δὲ δόγμασι, καλλωπίζεται μάκαρ καθ᾽ ἑκάστην, τῶν πιστῶν ἡ Ἐκκλησία, μεγαλοφώνως τιμῶσά σε.

Τῆς Χριστοῦ ἀπεδίωξας, νοητοὺς λύκους Κύριλλε, Ἐκκλησίας σκίπωνι τῶν δογμάτων σου, καὶ ταύτην κύκλῳ ἐτείχισας, λόγων ὀχυρώμασι, παραστήσας τῷ Χριστῷ, ἀσινῆ καὶ ἀλώβητον. Ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα. Ἦχος δ΄. Νέον.

Τὴν παντευχίαν τῆς πίστεως ἐνδυσάμενος, θεσπέσιε Κύριλλε, καὶ τὴν τοῦ Πνεύματος μάχαιραν, περιζωσάμενος καλῶς, τὰ τῶν Γραφῶν θεοπαράδοτα λόγια, πρὸς συμπλοκὴν τῶν γλωσσαλγούντων, αἱρεσιαρχῶν ἐξελήλυθας. Ὅθεν τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν, τῶν τοῦ Χριστοῦ δύω φύσεων δογματίσας, τὴν τῶν Υἱῶν δυάδα τοῦ Νεστορίου, καὶ τὴν τῶν φύσεων σύγχυσιν τοῦ Διοσκόρου, κατέβαλες ὡς ἄλλος Φινεές, τῷ ἑνὶ σειρομάστῃ συνεκκεντήσας, τὰ ἐκ διαμέτρου κακά, καὶ ὁμότιμα τὴν δυσσέβειαν. Καὶ νίκην παρέσχες, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ σωτηριώδη. Ὑπὲρ ἧς ἐν Οὐρανοῖς, ἱερονίκοις στεφάνοις τὴν κεφαλὴν ἐγκοσμούμενος, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ διὰ σὲ θεοπάτωρ προφήτης Δαυΐδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι· Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. Σὲ γὰρ Μητέρα πρόξενον ζωῆς

ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρών, πρόβατον τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις συνάψῃ δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν κόσμον, Χριστὸς ὁ ἔχων, τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

(Ζήτει αὐτὰ τῇ κε΄ Ἰανουαρίου, τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου).

Παροιμιῶν τὸ Ἀνάγνωσμα
(ι΄ 7, γ΄ 13-16, ἐκλογή).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ. Καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου· Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· Ὅτι ἐγὼ ἡ σοφία κατασκεύασα βουλήν, καὶ γνῶσιν, καὶ ἔννοιαν· ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(δ΄ 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ

τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αυτοῦ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
### (Παροιμ. δ΄ 14).

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν· καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται· καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτήν, οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ· ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν· μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί· σωφροσύνην ὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην, καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων. Καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή· ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου· ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί· καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Νικοδήμου.

Ἦχος α΄.

Χαίροις ἐν Κυρίῳ θεσπέσιε Κύριλλε, ὁ πολλοὺς ἀγῶνας ὑποστάς, ὑπὲρ τῆς καθολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ ἐν Οὐρανοῖς πλουσίαν ἀπολαβὼν τὴν ἀντάμειψιν. Τὸν γὰρ Ἰουδαιόφρονα Νεστόριον, ὡς λυμεῶνα θῆρα καὶ μονιὸν ἄγριον, τὴν τοῦ Κυρίου κατανεμόμενον ἄμπελον, ἣν ἐξ Αἰγύπτου μετῆρε τῆς νοητῆς ἀθεότητος, σὺ ἐξ Αἰγύπτου ὁρμήσας, τῇ σφενδόνῃ τῶν ὀρθῶν σου δογμάτων πόῤῥω ἀπήλασας. Καὶ ταύτην εὐκληματοῦσαν καὶ καρποφόρον, πᾶσαν ἀληθινήν, τοῖς πανσόφοις σου λόγοις ἀνέδειξας. Ἣν καὶ νῦν, Χριστὸν ἐκδυσώπει μακάριε, ἀραρότως ἐμμένειν ταῖς θείαις διδασκαλίαις σου.

Ἦχος β΄.

Ποιμὴν ἀληθής, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μιμητής, ἀνεδείχθης θεόσοφε Κύριλλε. Ὅθεν τοὺς μὲν Ναυατιανούς, τῇ Ἀλεξανδρείᾳ ἐπιπολάσαντας, διὰ τῆς ποιμαντικῆς σου προστασίας ἐδίωξας, καὶ τῆς ψώρας αὐτῶν, τὴν σὴν ποίμνην ἀπήλλαξας. Τοὺς δὲ θεοκτόνους Ἰουδαίους, ὡς αἱμοβόρους λύκους, λυμαινομένους τὰ λογικά σου πρόβατα, ζήλῳ θείῳ χρησάμενος, τῆς Ἀλεξανδρέων ἐξέβαλες πόλεως. Καὶ νῦν ἐν Οὐρανοῖς, ὡς τὴν ψυχήν σου θεὶς ὑπὲρ τῶν προβάτων, ἀντάξια κομίζῃ τὰ ἔπαθλα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Τίς μὴ δοξάσει; ἢ τίς μὴ ἀξίως μακαρίσει, τὸν μέγαν Ἀρχιερέα καὶ διδάσκαλον Κύριλλον; ὃν ἡ Ἁγία Τριὰς ἐμακάρισεν; Οὗτος γὰρ τῆς καθόλου Ἐκκλησίας ἀνεδείχθη διδάσκαλος περιώνυμος· στύλος τῆς εὐσεβείας ἀκλόνητος· κανὼν ἀληθείας ὀρθότατος· τῆς Τρίτης Οἰκουμενικῆς Συνόδου ὁ ἔξαρχος· τῆς ἀπάτης τῶν δαιμόνων ἐκριζωτής· τῶν αἱρετικῶν καταλύτης· πεπλανημένων ὁδηγός· κοινὸς Πατὴρ τῶν πιστῶν· τῶν συνωνυμούντων αὐτῷ προστάτης· τῆς Ἀλεξανδρείας τὸ κλέος· καὶ πάσης τῆς Οἰκουμένης τὸ ἀγαλλίαμα.

Ἦχος δ΄.

Εὐφραίνει μὲν Αἴγυπτον Νεῖλος, τὴν αἰσθητὴν ὁ αἰσθητός, ἐκ γῆς ὕων, καὶ πελαγίζων ὅρια, καὶ καρποφόρον ταύτην ἀπεργαζόμενος. Εὐφραίνει δὲ πάλιν, οὐκ Αἴγυπτον μόνην, ἀλλ᾽ ἅπασαν τὴν Χριστοῦ Ἐκκλησίαν, Νεῖλος ὁ νοητός, Κύριλλος ὁ θεόσοφος, ὁ νῦν εἰς εὐφημίαν προκείμενος. Οὐκ ἐκ γῆς προῤῥέων, ἀλλ᾽ ἐξ ὑπερῴων ὑδάτων πλημμυρῶν, τῆς θεολογίας τὰ νάματα, καὶ

πελαγίζων τῆς ἠθικῆς φιλοσοφίας, τὰ νεκταρώδη διδάγματα, τῶν ψυχῶν τὰς ἀρούρας πιαίνει, καὶ καρποφόρους δείκνυσι τῷ Θεῷ. Ὧι καὶ πρεσβεύει ἀδιαλείπτως, ἄφεσιν πταισμάτων δωρηθῆναι, ἡμῖν τοῖς τιμῶσιν αὐτόν, καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος β΄. Νέον.

Τοῦ νόμου τὰ σύμβολα, καὶ Προφητῶν τὰ αἰνίγματα, τῷ Πνεύματι τῆς χάριτος διερμηνεύσας, ἱερώτατε Κύριλλε, κάλλους νοητοῦ, καὶ Εὐαγγελικοῦ φωτός, πεπληρωμένα ταῦτα ἀπέδειξας. Τοῦ γράμματος γὰρ διαπετάσας τὰ προκαλύμματα, τὸν μυστικῶς ἐγκεκρυμμένον τοῦ Πνεύματος, θησαυρὸν ἀνεκάλυψας, ταῖς γλαφυραῖς σου ἀλληγορίαις, εἰς τὸ κατὰ Χριστὸν συμπεράνας μυστήριον. Ὅθεν ἀμφοτέρας τὰς Διαθήκας, συμφώνους δείξας τῷ Πνεύματι, καὶ ὡς τροχὸν ἐν τροχῷ, ἀλλήλαις ἐμπεριεχομένας, τὸν νοῦν ἡμῶν διήνοιξας, τοῦ συνιέναι τὰς Γραφάς. Καὶ νῦν σου δεόμεθα, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν πόθῳ τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι· Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Νικοδήμου.

Χαίροις θησαυροφύλαξ Χριστοῦ, ὁ ἐκ τῶν ἄνω, ταμιείων τοῦ Πνεύματος, πλουτήσας, θησαυρὸν μέγαν, καὶ ἐν σεπτοῖς θησαυροῖς, τῶν σῶν Συγγραμμάτων ἀποθέμενος. Δι᾽ ὧν κατεπλούτισας, πᾶν τὸ πλήρωμα Κύριλλε, τῆς Ἐκκλησίας, θησαυροὺς ὑπὲρ ἅπαντας, ὑπὲρ ἄργυρον, ὑπὲρ λίθον πολύτιμον. Πλούτισον οὖν πανόλβιε, ἡμᾶς τοὺς τιμῶντάς σε, τοῖς ἱεροῖς θησαυροῖς σου. Κἂν μὴ χωρῶμεν σὺ πλάτυνον, τὸν νοῦν ἡμῶν Πάτερ, καὶ τῶν σῶν οὕτω μετάδος θησαυρῶν Ἅγιε.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Χαίροις ὁ ζήλου θείου πλησθείς, ὑπὲρ τῆς μόνης ἀληθοῦς Θεομήτορος, καὶ Λόγου τοῦ ὑπερθέου, οἰκονομίας φρικτῆς. Σύνοδον γὰρ μάκαρ ἀθροισάμενος, Πατέρων παγκόσμιον, ταύτης ἔξαρχος γέγονας. Καὶ Νεστορίου, τοῦ ληρώδους καὶ ἄφρονος, τὴν μισόχριστον, ἐξωστράκισας αἵρεσιν. Ἕνα δὲ τὸν Θεοῦ Υἱόν, Θεόν τε καὶ ἄνθρωπον, τοῦτο κἀκεῖνο τελοῦντα, συνοδικῶς ἐδογμάτισας, καὶ

τοῦτον ἀσπόρως, τὴν τεκοῦσαν Θεοτόκον τρανῶς ἐκήρυξας.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Χαίροις Ἀλεξανδρείας φωστήρ, καὶ οἰκουμένης, ὁ λαμπτὴρ ὁ φανώτατος. Τὸ κλέος, τῶν Θεολόγων· Ἱεραρχῶν καλλονή· Διδασκάλων μέγα σεμνολόγημα· Γραφῶν ἡ ἀνάπτυξις· ἀρετῶν ἐνδιαίτημα· οἶκος χαρίτων, τῶν ἐνθέων τοῦ Πνεύματος· ταπεινώσεως, ὑψηλὸν καταγώγιον. Αἴτησαι ἐκτενέστερον, Χριστὸν πάτερ Κύριλλε, ἡμῖν πταισμάτων δοθῆναι, καὶ τῶν δεινῶν ἀπολύτρωσιν, τοῖς σὲ εὐφημοῦσι, καὶ τὴν μνήμην σου τελοῦσι τὴν ἀεισέβαστον.

Δόξα. Ἦχος πλ. δ΄. Νικοδήμου.

Μακαριώτατε Κύριλλε, τίς σε κατ᾽ ἀξίαν ἐπαινέσεται; Σὺ γὰρ ὡς Αἰγύπτου πρόεδρος, τὸν ἐν Αἰγύπτῳ γεννηθέντα Μωσῆν μιμησάμενος, εἰκότως καὶ τῶν ἐκείνου γερῶν κατηξίωσαι. Ὡς γὰρ ἐκεῖνος τῷ Θεῷ, τὸ Ἰεχωβᾶ ἐπέθηκεν ὄνομα, τὴν κυριωτέραν κλῆσιν Θεοῦ, καὶ παντὶ κτίσματι ἀκοινώνητον· οὕτω καὶ σὺ τῇ Μητρὶ τοῦ Θεοῦ, τὴν Θεοτόκος φωνὴν ἐπεκύρωσας, τὴν κυριωτέραν κλῆσιν αὐτῆς, καὶ πάσῃ ἄλλῃ ἀνοίκειον. Κἀκεῖνος μέν, διὰ τῆς ἐν βάτῳ θεοφανείας, τοῦ μυστικοῦ τῆς Παρθένου τύπου ἠξίωται. Σὺ δέ, οὐ πόῤῥω τῆς Θεοτόκου ἐπιπνοίας, τὸ κατόρθωμα τοῦτο ἐποίησας. Ὢ μεγίστης δόξης ἧς ἔτυχες, θεοειδέστατε Πάτερ! Παῤῥησίαν οὖν ἔχων πρὸς Θεόν, καὶ τὴν Θεοῦ Μητέρα, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν πόθῳ τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις, Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς κῦρος οὐράνιον, θεολογία ἡ σή, βραβεύει ἐν Πνεύματι, τῇ Ἐκκλησίᾳ Χριστοῦ, τὴν χάριν τὴν ἔνθεον· σὺ γὰρ καθυπογράψας, τῆς Τριάδος τὴν δόξαν, μύστης τῆς Θεοτόκου, καὶ ὑπέρμαχος ὤφθης, παρ᾽ ἧς λαμπρῶς ἐδοξάσθης, ἱεράρχα παμμάκαρ Κύριλλε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ᾿ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι᾿ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α´ Στιχολογίαν, Κάθισμα.

Ἦχος α´. Τὸν τάφον σου Σωτήρ.

Ἐκ νότου εἰς βορρᾶν, ἐξ Αἰγύπτου ἀνέβης, εἰς Ἔφεσον σοφέ, ὥσπερ ἥλιος μέγας, καὶ λύσας αἱρέσεων, τὸν χειμῶνα ἐποίησας, ἔαρ Κύριλλε, πίστεως δόγματα θεῖα, εἰς γῆν ἅπασαν, ἐκ τῆς ἑώας ἀστράψας, δυνάμει τοῦ Πνεύματος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Παρθένος ἀληθῶς, πρὸ τοῦ τόκου Παρθένε. Παρθένος ἀληθῶς, ἐν τῷ τόκῳ Παρθένε. Παρθένος ἀειπάρθενος, μετὰ τόκον διέμεινας. Ὅθεν δέομαι ὡς ἡγεμὼν τῶν παρθένων, παρθενεύειν με, νοῒ ψυχῇ σώματί τε, Παρθένε ἐνίσχυσον.

Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ´. Τὴν ὡραιότητα.

Ῥεῖθρα ἀνέβλυσας, τῆς θείας γνώσεως, ἐκ τῆς κοιλίας σου, πάνσοφε Κύριλλε, ἐν οἷς ἐβύθισας δεινάς, αἱρέσεις παναοίδιμε. Καὶ ἅπαν ἐπότισας, Ἐκκλησίας τὸ πρόσωπον, ἥτις κατὰ χρέος σε, μακαρίζει ἑκάστοτε, καὶ πόθῳ σου τὴν μνήμην γεραίρει, ἐν ἱεραῖς ὑμνολογίαις.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Κατατιτρώσκει με, βέλος γλυκύτατον, τῆς ἀγαπήσεως, τῆς σῆς Πανύμνητε, καὶ καταθέλγει με πυκνῶς, βοᾶν σοι εὐλογημένη. Χαίροις ἡλιόμορφον, Βασιλέως παλάτιον. Χαῖρε πύλη πάγχρυσε, ἡ Θεὸν ἀναδείξασα, ἄνθρωπον φύσει τῷ τοκετῷ σου, ἀνθρώπους δὲ Θεοὺς κατὰ χάριν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως. Παλαιόν.

Θεῖον ἕδρασμα τῆς Ἐκκλησίας, Πάτερ Κύριλλε, σὺ ἀνεδείχθης. Τὴν δωδεκάδα ἐκθεὶς γὰρ τῶν λόγων σου, τὴν Νεστορίου κακόνοιαν ἤλεγξας, καὶ Θεοτόκον κυρίως ἐτράνωσας. Πατέρων ἔξαρχε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θρόνος πάγχρυσος, τοῦ Βασιλέως, καὶ παράδεισος, διηνθισμένος, ἀνεδείχθης Θεοτόκε Πανάχραντε. Τὸν γὰρ Θεὸν ἐν γαστρί σου βαστάσασα, εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν. Ὅθεν ἅπαντες, Θεοῦ ἀληθῶς Μητέρα σε, κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον.

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην (ι΄ 1-9).
*(Ζήτει τῇ ΙΓ΄ Νοεμβρίου, εἰς τὸν Ὄρθρον).*

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν ἐκεῖνος κλέπτης ἐστὶν καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστιν τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα φωνεῖ κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά. Ὅταν τὰ ἴδια πάντα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασιν τὴν φωνὴν αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασιν τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον (πρὸ ἐμοῦ) κλέπται εἰσὶν καὶ λῃσταί· ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

Ὁ Ν΄ Ψαλμός.

Δόξα.

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Νικοδήμου.

Τὸν ἄδυτον γνόφον, τῆς ἐν Πνεύματι θεωρίας εἰσελθών, θεσπέσιε Κύριλλε, τῆς θεολογίας καὶ οἰκονομίας, τῶν δύω πρωτίστων ἀρχῶν τῆς Πίστεως, δογματιστὴς γέγονας ἀκριβέστατος. Ὁμοούσιον γὰρ τὴν Τριάδα κηρύξας, ἐπίσης τὴν διαίρεσιν Ἀρείου, καὶ τὴν σύγχυσιν Σαβελλίου διέφυγες. Υἱὸν δὲ Θεοῦ, τὸν σαρκωθέντα δογματίσας, Νεστορίου τὴν διαίρεσιν, καὶ τῶν Ἀκεφάλων τὴν σύγχυσιν ἐστηλίτευσας. Ὅθεν καὶ ἐπὶ σοῦ, ἀκούειν ὑπῆρχε λέγοντος τοῦ Πατρός, ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου. Ἀπ᾽ Αἰγύπτου γὰρ διὰ σοῦ, ἐξήχηται εἰς πᾶντας ὁ λόγος τοῦ Θεοῦ, ὑγιῶς πιστευόμενος. Ὧι πάντοτε πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

Οἱ Κανόνες· πρῶτος τῆς Θεοτόκου,
ἢ τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου ὁ παρών,
οὗ ἡ ἀκροστιχὶς ἄνευ τῶν Θεοτοκίων·
*Θεωριῶν Κύριλλος ἐνθέων λύρα.*
Θεοφάνους.

Ὠιδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Θεόθεν τὴν φωτοδότιν Κύριλλε, χάριν δεξάμενος, καὶ τηλαυγὴς φωστὴρ ἀναδειχθείς, λογικαῖς ἐξαστράπτοις ἡμῖν, μαρμαρυγαῖς τὴν μνήμην σου, ὅπως ἀξίως ἀνυμνήσωμεν.

Ἐπλήσθης τῆς δᾳδουχίας Κύριλλε, σοφὲ τοῦ θείου Πνεύματος, τῶν ἐντολῶν ὡς φύλαξ τοῦ Χριστοῦ· καὶ παθῶν καθηράμενος, τῆς ὑπερθέου γέγονας, ὄντως Τριάδος ἐνδιαίτημα.

Ὡς ζήλου καὶ παῤῥησίας ἔμπλεως, Κύριλλε ἔνδοξε, τὰς θεομάχους πάσας ἀψευδῶς, γλωσσαλγίας διήλεγξας, τῶν δυσσεβῶν αἱρέσεων, ὀρθοδοξίας προϊστάμενος.

Θεοτοκίον.

Ἰάσω τὴν συντριβὴν Πανάμωμε, τῆς ἀνθρωπότητος, τὸν ποιητὴν τεκοῦσα τοῦ παντός, τὸν ἡμᾶς ἀνορθώσαντα, καταῤῥαγέντας πτώματι, τῶν προπατόρων θεονύμφευτε.

Ὠιδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Ῥωννύμενος ἐν Χριστῷ, τὰς μηχανὰς τοῦ σκολιοῦ δράκοντος, γνώμῃ στεῤῥᾷ Κύριλλε, ὡς ἱστὸν ἀράχνης διέλυσας.

Ἰλὺν παθῶν ἐκ ψυχῆς, ἐξετινάξω καθελὼν Κύριλλε, πᾶν λογισμῶν ὕψωμα, κατὰ τοῦ Χριστοῦ ἐπαιρόμενον.

Ὡς εὔστοχος ἀθλητής, Πάτερ ἐξέκλινας στεῤῥῶς ἅπασαν, τὴν τῆς σαρκὸς εὐπάθειαν, ὡς ἐπιβλαβῆ καὶ ἐπίβουλον.

Θεοτοκίον.

Τὴν μόνην ἐν γυναιξίν, εὐλογημένην ὡς Θεοῦ σκήνωμα, πανευπρεπὲς ἅπαντες, ἐν ἀγαλλιάσει δοξάσωμεν.

Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν τὴν θείαν πεπλουτηκώς, ἐξηρεύξω δογμάτων Πάτερ πηγάς, πλυνούσας αἱρέσεων, δυσωδέστατον βόρβορον, καὶ πιστῶν καρδίας, ἀρδευούσας ἐν χάριτι, καὶ τῆς Ἐκκλησίας, τὰς αὔλακας Κύριλλε, ἤδη μεθυσκούσας· διὰ τοῦτό σε πίστει, τιμῶντες τὴν μνήμην σου, ἐκτελοῦμεν θεόπνευστε, Ἱεράρχα πανεύφημε· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον. Αὐτόμελον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί, συλλαβοῦσα ἀφράστως, Μήτηρ Θεοῦ, τῷ κόσμῳ ἐκύησας, τὸν τὸν κόσμον κατέχοντα· καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα συνέχοντα, καὶ ἐκ μαζῶν ἐθήλασας, τὸν πάντας ἐκτρέφοντα. Ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου. Δέσποινα Παρθένε ἁγνή, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι, καὶ γὰρ δύνασαι, ὅσα θέλεις πανύμνητε.

Ὠιδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Νενικηκότα τὰ πάθη τὰ ψυχοφθόρα, καὶ λογισμῷ κρατήσαντα, σαρκὸς θεοφόρε, Κύριλλε ἰδὼν ὁ Χριστός, τῆς θείας σε Πρόεδρον, Πάτερ Ἐκκλησίας καθίστησιν.

Κληρονομήσας ὡς γόνος ἠγαπημένος, τὴν πατρικὴν τοῦ Μάρκου, ἀρετὴν καὶ τοῦ θρόνου, γέγονας διάδοχος, τοῦ θείου τοῖς ἴχνεσιν, Εὐαγγελιστοῦ παρεπόμενος.

Ὑπὸ Χριστοῦ μὲν ὡς πρόβατον ἐποιμάνθης· ὡς δὲ ποιμὴν ἐποίμανας, τὸ ποίμνιον Πάτερ, λόγοις ψυχοτρόφοις σου, ὡς πόαις καὶ ἄνθεσι, δαψιλῶς ἐκτρέφων τῆς χάριτος.

Θεοτοκίον.

Σεσαρκωμένον τὸν Λόγον ἐκ σοῦ Παρθένε, θεοπρεπῶς ἐγέννησας, καὶ μένεις Παρθένος· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ Χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠιδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Ῥεῦμα ὄντως σφοδρόν, πλημμυροῦντος, χειμάῤῥου ὁ σός, ὦ Κύριλλε ἐκμιμεῖται, λόγος τῶν κακοδόξων, ἐκτρέπων μηχανήματα.

Ἴσως τὴν βδελυράν, τοῦ Ἀρείου διαίρεσιν, ὦ Κύριλλε μακράν τε, Σαβελλίου ἐκ βάθρων, συναλοιφὴν καθῄρηκας.

Λόγους πλουτοποιούς, ὡς χρυσὸν καταλέλοιπας, ὦ Κύριλλε θησαυροὺς δέ, ὥσπερ λίθους τιμίους, τοὺς σοὺς τῇ Ἐκκλησίᾳ Χριστοῦ.

Θεοτοκίον.

Τίς δύναται τὸ σόν, ἑρμηνεῦσαι μυστήριον, Πανάμωμε; τὸν γὰρ κτίσει, μὴ χωρούμενον πάσῃ, ἐν μήτρᾳ σου ἐχώρησας.

Ὠιδὴ στ´. Θύσω σοι, μετὰ φωνῆς.

Λαβίδι, Σεραφὶμ τῷ Προφήτῃ τὸν ἄνθρακα· τῇ Ἐκκλησίᾳ Χριστοῦ δέ, ταῖς χερσὶ προσνέμεις Ἱερομύστα, τὸ ἐκ θείου, πυρὸς ἠνθρακωμένον καθάρσιον.

Ὁμόρους, ὡς Σαμψὼν ἀλλοφύλους οὐκ ἔθραυσας, τὰ δὲ ἀλλόκοτα πάντα, τῶν ἑτεροδόξων διδάγματα, καὶ τὸ κράτος, τοῖς ὀρθοδόξοις δέδωκας Κύριλλε.

Συνόδου, θεολέκτου σαφῶς προηγούμενος, τὸ δυσσεβὲς Νεστορίου, χριστόμαχον θράσος Πάτερ καθεῖλες, ζήλου πνέων, ὑπὲρ τῆς ἀληθοῦς Θεομήτορος.

Θεοτοκίον.

Ὅλην σε, περιστερὰν τελείαν καὶ πάγκαλον, καὶ τηλαυγὲς εὑρὼν κρίνον, καὶ κοιλάδων ἄνθος ὦ Θεομῆτορ, ὁ Νυμφίος, ὁ νοητὸς ἐν σοὶ κατεσκήνωσεν.

Κοντάκιον. Παλαιόν.

Ἦχος πλ. β´. Τὴν ὑπὲρ ἡμῶν.

Ἄβυσσον ἡμῖν, δογμάτων θεολογίας, ἔβλυσας σαφῶς, ἐκ τῶν πηγῶν τοῦ Σωτῆρος, τὰς αἱρέσεις κατακλύζουσαν μακάριε, τὸ δὲ ποίμνιον ἀπόντιστον, τρικυμίαις διασῴζουσαν. Τῶν περάτων γὰρ Ὅσιε, ὑπάρχεις καθηγητής, ὡς τὰ θεῖα σαφῶν.

Ὁ Οἶκος. Νέος.

Τίσιν ἐγκωμίοις; ἢ ποίᾳ γλώσσῃ τολμήσω ἀνευφημῆσαι Κύριλλον τὸν σοφώτατον; Τὸν τῆς Ἀλεξανδρείας ἐκλάμψαντα, καὶ τὴν οἰκουμένην ὅλην φωτίσαντα; Τῆς Τριαδικῆς θεολογίας, τὸν ὑψηγόρον ἐκφάντορα; Τῆς ἐνσαρκώσεως τοῦ Θεοῦ Λόγου, τὸν ἀκριβέστατον γνώμονα; Τῆς Θεοτόκου τὸν ἐπιστήθιον φίλον; Τὸν διερμηνευτὴν τῶν Γραφῶν, καὶ τὰ βάθη τοῦ Πνεύματος, σὺν τῷ πνεύματι ἐρευνήσαντα; Γλωσσῶν γὰρ πλῆθος ῥητορικῶν, καὶ ταῦτα κεκαθαρμένων, οὐκ ἐξαρκεῖ πρὸς ἔπαινον. Πολλῷ δὲ μᾶλλον μία, καὶ

αὔτη, τοσοῦτον ἐναγής, ὅσον ἄμουσος; Ἀλλ᾽ οὖν τῇ συνήθει σου φιλανθρωπίᾳ θαῤῥῶν, Πάτερ ἁγιώτατε, τῷ ὕψει τῶν σῶν πλεονεκτημάτων, ὁ περιπέζιος ἐγὼ προσεπέλασα, ὡς Οὐρανοῦ πλάτος ἐν βραχείᾳ ἐπιφανείᾳ, ὡς γῆς μῆκος ἐν χάρτῃ, καὶ ὡς γίγαντα ἐν σφενδόνῃ δακτυλίου· οὕτω τὰ σά, λόγοις ἐν μικροῖς τὰ μεγάλα περιλαβών. Καί γε σύγγνωθι. Σὺ γὰρ ὑπάρχεις τῶν περάτων καθηγητής, ὡς τὰ θεῖα σαφῶν.

## Συναξάριον.

Τῇ Θ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, Ἀρχιεπισκόπου Ἀλεξανδρείας.

### Στίχοι.

Κύριλλον ὑμνῶ τοῦ Κυρίου μου φίλον
Καὶ Κυρίας πρόμαχον Ἀειπαρθένου.

Εὕρατο τυμβοχοὴν ἔνατον Κύριλλος εἰς ἦμαρ.

### Ἕτεροι.. Νικοδήμου.

Θανὼν Κύριλλος τῆς Ἀλεξάνδρου Πάπας,
Πρὸς Κύριον μετῆλθε πάντων Κυρίων.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## Ὠιδὴ ζ´. Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι.

Ἐν τῷ Σιναίῳ, ἀκρωτηρίῳ πάλαι γνόφον εἰσδύς, Νόμον εἶλε μάκαρ Κύριλλε ὁ Μωσῆς, ἀναιροῦντα, τὸν τοῦ γράμματος· σὺ δὲ ἀνέπτυξας, τὸ κεκρυμμέ-νον κάλλος τοῦ Πνεύματος.

Νομοθεσίας, δι᾽ αἰνιγμάτων ὡς νηπίοις τὸ πρίν, Πάτερ δεδομένης κάλυξι καλυπτά, ὥς περ ῥόδα τὰ νοήματα, σὺ ἀπεκάλυψας, ἑρμηνεύσας τοὺς τύπους σαφέστατα.

Θεοκηρύκων, καὶ θεολήπτων τὰ δυσέφικτα, τεύχη Προφητῶν τῇ χάριτι ἐμπνευσθείς, τοῦ ἐκείνους ἐμφορήσαντος, Πνεύματος Κύριλλε, εἰλικρινῶς ἡμῖν διεσάφησας.

Ἐν ἀσυγχύτῳ, ἑνώσει θείᾳ καὶ ἀτμήτῳ σαφῶς, Πάτερ διαιρέσει, τρεῖς μὲν θεολογῶν, ὑποστάσεις ἔφης Κύριλλε, ἀπαραλλάκτους δέ, ἐν οὐσίᾳ μιᾷ καὶ θεότητι.

Θεοτοκίον.

Ἐπὶ τοῦ θρόνου, τοῦ ἐπηρμένου ὁ καθήμενος, θρόνον ἐπὶ γῆς Παρθένε θεοπρεπῆ, εὑρηκώς σε ἀνεπαύσατο· Εὐλογημένη σύ, Θεογεννῆτορ ἄχραντε Δέσποινα.

Ὠιδὴ η΄. Χεῖρας ἐκπετάσας.

Ὡς κῦμα θαλάσσης ἀληθῶς, ἐν σοὶ ἐξέβλυσεν, ἡ τῆς σοφίας πηγή· καὶ γὰρ ἀένναοι ἐῤῥευσαν, ποταμοὶ ἐκ τῆς κοιλίας σου, Πάτερ δογμάτων εὐσεβῶν, καθὼς προέφη Χριστός· ὑπερβαίνει, ψάμμον γὰρ τεύχη τὰ σὰ τὰ θεόλεκτα.

Νομεὺς καὶ Διδάσκαλος σοφός, τῆς Ἐκκλησίας δειχθείς, τὰς δύω Κύριλλε, σαφῶς ἀνέπτυξας Ὅσιε, Διαθήκας· ὡς γὰρ ἄγκυραν, καὶ πατρικὸν κλῆρον τοὺς σούς, ἔχουσα λόγους βοᾷ· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Λόγου σαρκωθέντος δι᾽ ἡμᾶς, τοῦ παντεχνήμονος, σὺ τὴν ἀπόῤῥητον, διδάσκεις ἕνωσιν Κύριλλε, ἀδιαίρετον ἀσύγχυτον, τὰς ἐφ᾽ ἑκάτερα ῥοπάς, ἴσως ἐκκλίνας βοῶν· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Κυρίως γεννήσασα Θεόν, κυρίως Πάναγνε, Μήτηρ ἐδείχθης Θεοῦ, ἐπαληθεύουσαν φέρουσα, καταλλήλως τῷ γεννήματι θεωνυμίαν· οἱ πιστοί, ὅθεν δοξάζομεν, Θεοτόκον σὲ θεοφρόνως πανάμωμε Δέσποινα.

Ὠιδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ὕψωμα Χριστοῦ κατεπαρθὲν τῆς γνώσεως, καὶ τῆς τούτου Θεομήτορος, Κύριλλε ἅπαν κατὰ κράτος, καθεῖλες Νεστορίου τὸ ἄθεον, υἱῶν δυάδα ὡσαύτως καὶ σύγχυσιν, τῶν Ἀκεφάλων τὴν τῶν φύσεων.

Ῥώσει τῶν φρενῶν καὶ φωτισμῷ τῆς χάριτος, τὴν Τριάδα ὁμοούσιον, τόν τε Υἱὸν σεσαρκωμένον, Θεὸν θεολογήσας μακάριε, ὀφθείς τε τῆς Θεοτόκου ὑπέρμαχος, ἐν τοῖς ὑψίστοις νῦν δεδόξασαι.

Ἄνωθεν ἡμᾶς σοὺς ὑμνητὰς ἀοίδιμε, ἐποπτεύοις Πάτερ ἵλεως, Ἄνακτι νίκας σταυροφόρῳ, βραβεύων καὶ ὑψῶν ταῖς πρεσβείαις σου, τῶν ὀρθοδόξων τὸ κέρας φαιδρύνων τε, τοὺς τὴν σὴν μνήμην μεγαλύνοντας.

Θεοτοκίον.

Ἄνθρακα τὸν νοητὸν Ἁγνὴ πανάμωμε, Ἡσαΐας ὃν τεθέαται, φέρεις ἀγκάλαις Θεομῆτορ, μορφῇ τῇ ἡμετέρᾳ ἑνούμενον, καὶ κόσμῳ τὴν σωτηρίαν βραβεύοντα· ὅθεν σε πάντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Νέον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Τὸν Ἱεράρχην ἅπαντες, καὶ Κριτὴν οἰκουμένης, Κύριλλον μακαρίσωμεν, τῶν Πατέρων Πατέρα, ποιμένων τε ποιμενάρχην. Οὗτος γὰρ τῆς Τριάδος, ὀρθότατα ἐκήρυξε, τὸ μυστήριον πᾶσι, καὶ τῆς φρικτῆς, δι᾽ ἡμᾶς τοῦ Λόγου οἰκονομίας, τῶν δυσσεβῶν αἱρέσεων, πλάνην τρέψας γενναίως.

Θεοτοκίον.

Μετὰ Θεὸν Πανάμωμε, σὺ Θεὸς ἀνεδείχθης, τὰ δευτερεῖα ἔχουσα, τῆς Ἁγίας Τριάδος. Τῆς πίστεως ἀρχὴ πρώτη, καὶ ἐλπίδος ἡ βάσις· τὸ ἔρεισμα τῆς πράξεως, καὶ κρηπὶς θεωρίας· ἀκροστιχίς, Προφητῶν ἁπάντων, καὶ Γραφῶν πίναξ, πόλου καὶ γῆς τεράστιον, καὶ στοιχεῖον τοῦ κόσμου.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Νέα.

Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.

Τῶν φιλεόρτων τὰ πλήθη, δεῦτε συνδράμωμεν, καὶ μνήμην τὴν φωσφόρον, τοῦ ἐνθέου Κυρίλλου, κροτήσωμεν ἐν ὕμνοις, χαρμονικοῖς, τὸν Σωτῆρα δοξάζοντες, τὸν θαυμαστώσαντα τοῦτον ἐν Οὐρανῷ, καὶ ἐν γῇ ὡς μέγαν ἥλιον.

Τῶν νοημάτων τῷ ὕψει, καὶ τῇ λαμπρότητι, καὶ τῷ ἰδιοτρόπῳ, κάλλει τῆς φράσεώς σου, Κύριλλε τρισμάκαρ, φωταγωγεῖς, τῶν πιστῶν τὴν διάνοιαν, καὶ τὴν καρδίαν εὐφραίνεις καὶ ἀκοήν, καθηδύνεις Ἱερώτατε.

Μετὰ Θεὸν πᾶν ἰσχύει, ὄντως ἡ Μήτηρ Θεοῦ. Σὲ δὲ φίλος ὑπάρχων, τῆς Μητρὸς Θεοῦ πάλιν, Κύριλλε μεγάλην, ἔχεις ἰσχύν, διανῦσαι πᾶν αἴτημα. Ὅθεν ἡμῶν τὰς αἰτήσεις σῶν ὑμνῳδῶν, ἀποπλήρου ταῖς πρεσβείαις σου.

Τοῖς Ἱεράρχαις συνήφθης, πάνσοφε Κύριλλε, ὡς Ἱεράρχης μέγας, θεολόγοις τε πᾶσιν, ὡς ὄντως θεολόγος, καὶ νῦν τρανῶς, τῷ φωτὶ ἐλλαμπόμενος, τῆς ὑπερθέου Τριάδος μνείαν ποιοῦ, ἡμῶν πάντων

τῶν τιμώντων σε.

Δόξα. Ἦχος πλ. δ΄. Νέον.

Τῶν Ἁγίων Πατέρων ὁ χορός, ὁ ἐν Ἐφέσῳ τῇ πόλει συνελθών, τῆς λεπτῆς φρονήσεως, σὲ ἀγαμένη καὶ κρίσεως, πανεύφημε Κύριλλε, ψήφῳ συνοδικῇ, βραβεῖά σοι ἐχαρίσατο, Κριτὴν τῆς οἰκουμένης καλεῖσθαι, καὶ ἐν τῷ λειτουργεῖν Θεῷ, λεπτὸν ἐπὶ κεφαλῆς φέρειν ὀθόνιον. Διὸ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομά σου. Ὅτι ἐν τῇ σοφίᾳ σου, Νεστόριον κρίνας τὸν τῆς οἰκουμένης ἐχθρόν, ὅλην ἔκρινας τὴν οἰκουμένην, τὴν ὑπὸ τούτου ταραττομένην. Καὶ νῦν μετὰ παῤῥησίας, Χριστῷ καὶ τῇ Μητρὶ τοῦ Χριστοῦ παριστάμενος, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ ᾠδή.

Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει Ἰανουαρίου κε΄.

Ἀπόστολος. Πρὸς Ἑβραίους (ζ΄ 26-28, η΄ 1-2).

Προκείμενον. Ἦχος α΄. (Ψαλμὸς μη΄).

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ᾿ ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας

ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὡς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν Ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, «ἣν ἔπηξεν ὁ Κύριος», καὶ οὐκ ἄνθρωπος.

Ἀλληλούϊα (γ΄). Ἦχος β΄. (Ψαλμὸς οζ΄).

Στίχ. Προσέχετε, λαός μου, τῷ νόμῳ μου.

Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην (ι΄ 9-16).
(Ζήτει τῇ ΚΓ΄ Νοεμβρίου, εἰς τὴν Λειτουργίαν).

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνα με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Ῥήτωρ εὐσεβείας ἀναδειχθείς, δογμάτων τὸν λόγον, θεηγόρως διατρανοῖς, καὶ τὴν τοῦ Σωτῆρος πανάφθορον Μητέρα, κηρύττεις Θεοτόκον, πάνσοφε Κύριλλε.

Ἕτερα, ὑπὸ ἱερέως Γεωργίου Βουτέρη.

Κύριλλον τὸν μέγαν καθηγητήν, ὕμνοις ἐγκωμίων ἐπαινέσωμεν οἱ πιστοί, ὅτι Νεστορίου καθεῖλε τὰ ληρώδη, καὶ τὴν Θεοτόκον, τρανῶς ἐκήρυξεν.

www.tezaurliturgic.ro

Στύλος εὐσεβείας ἀκλόνητος, κανὼν ἀληθείας ἀνεδείχθης λαμπρότατος, καὶ τῆς Ἀλεξάνδρου, σὺ μέγα κλέος ὤφθης, τῶν Ὀρθοδόξων πάντων προστάτης μέγιστος.

Νῦν καιρὸς ἀνάγκης ἦλθεν ἡμῖν· νῦν πάρεστι χρεία, βοηθείας ἱεράρχα Χριστοῦ, λύτρωσαι οὖν πάσης ἀνάγκης τῆς παρούσης, καὶ χεῖρα βοηθείας, Κύριλλε ὄρεξον.

www.tezaurliturgic.ro